Τὸν εὐτυχῆ μισεῖ τις ὃν θεὸς φιλεῖ.
Οὕτως ἀνόητοι τῷ φθόνῳ πλανώμεθα.
Οὕτως ἑτοίμως μωρίᾳ δουλεύομεν.
Ἕλληνές ἐσμεν ἄνδρες ἐσποδωμένοι,
Νεκρῶν ἔχοντες ἐλπίδας τεθαμμένας.
Ἀνεστράφη γὰρ πάντα νῦν τὰ πράγματα.

Τοῦ αὐτοῦ.

Ὅταν στυγῇ τις ἄνδρα τὸν θεὸς φιλεῖ,
Οὕτως μεγίστην μωρίαν κατέστιξε.
Φανερῶς γὰρ αὐτῷ τῷ θεῷ κορύσσεται,
Χόλον μέγιστον ἐκ φθόνου δεδεγμένος.
Δεῖ γὰρ φιλεῖν ἐκεῖνον ὃν θεὸς φιλεῖ.

ΑΡΙΣΤΩΝΟΣ, ἢ ΕΡΜΟΔΩΡΟΥ.

Πεισμένα κάλλει γανυμήδεος εἶπέ ποθ' ἥρη,
Θυμοβόρου ζήλου κέντρον ἔχουσα νόῳ,
Ἄρσεν πῦρ ἔτεκε τροία διΐ, τοιγὰρ ἐγὼ πῦρ
Πέμψω ἐπὶ τροίαν πῆμα φέροντα πάριν.
Ἥξει δ' ἰλιάδαις οὐκ αἰετὸς, ἀλλ' ἐπὶ θοίναις
Γῦπες, ὅταν δαναοὶ σκῦλα φέρωσι πόνων.

Ἄδηλον.

Ὁ φθόνος ἐστὶ κάκιστον, ἔχει δέ τι καλὸν ἐν αὐτῷ.
Τήκει γὰρ φθονερῶν ὄμματα καὶ κραδίην.

Ἄδηλον.

Ὁ φθόνος αὐτὸς ἑαυτὸν ἑοῖς βελέεσσι δαμάζει.

---

ΕΙΣ ΦΙΛΑΡΓΥΡΟΥΣ, κεφ. ιδ.

ΗΛΑ·